σθαι. ἑωρακὼς δὲ αὐτὸν φοβούμενον τοῦτό φησιν. οὕτω δεινὸν πρᾶγμά ἐστιν οἱ ὀρνιθοθῆραι. οὐκ ὤφειλες οὐδὲ ἡμῖν εἰπεῖν. οἱ δὲ, ἐν ἤθει τὸν λόγον ἀκούουσιν οὕτω. οὑτωσί τι δει-
A νὸν δὲ κάλλιον λέγειν, τουτέστιν οὕτω δεινὸν ἔχομεν ἐκ τῆς ὄψεως, ὥστε ὀρνιθοθῆραι νομίζεσθαι. οὐδὲ λέγειν σε τοῦτο ἐστὶ κάλλιον, ὅτι ἐσμὲν ὀρνιθοθῆραι.

Ευ. Ὑποδεδιὼς ἔγωγε Λιβυκὸν ὄρνεον.
Θε. Οὐδὲν λέγεις. ευ. καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.
Θε. Ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις. οὐκ ἐρεῖς;
Πει. Ἐπικεχοδὼς ἔγωγε φασιανικός.
ευ. Ἀλλὰ σὺ τί θηρίον ποτ' εἶ πρὸς τῶν θεῶν.
Θε. Ὄρνις ἔγωγε δοῦλος. ευ. ἡττήθης τινὸς
Ἀλεκτρυόνος; Θε. οὐκ. ἀλλ' ὅτε περ ὁ δεσπότης
Ἔποψ ἐγένετο, τότε γενέσθαι μ' ηὔξατο
Ὄρνιν, ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
ευ. Δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
Θε. Οὗτός γ' ἅτ' οἶμαι πρότερον ἄνθρωπός ποτ' ὤν,
Τότε μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς,
Τρέχω 'π' ἀφύας ἐγὼ, λαβὼν τὸ τρύβλιον.
Ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας,
Τρέχω 'πὶ τορύνην. ευ. τροχίλος ὄρνις οὑτοσί.
Οἶσθ' οὖν ὃ δρᾶσον, ὦ τροχίλε; τὸν δεσπότην
Ἡμῖν κάλεσον. τρ. ἀλλ' ἀρτίως νὴ τὸν Δία
Εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.
ευ. Ὅμως ἐπέγειρον. τρ. οἶδα μὲν σαφῶς,
Ὅτι ἀχθέσεται. σφῷν δ' αὐτὸν εἵνεκ' ἐπεγερῶ.
Πει. Κακῶς σύ γ' ἀπόλοι. ὥς μ' ἀπέκτεινας δέει.
Ευ. Οἴμοι κακοδαίμων. χὠ κολοιός μ' οἴχεται
Ὑπὸ τοῦ δέους. Πει. ὦ δειλότατον σὺ θηρίον
Δείσας ἀφῆκας τὸν κολοιόν; ευ. εἰπέ μοι.
Σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;
Πει. Μὰ Δί' οὐκ ἔγωγε. ευ. ποῦ γάρ ἐστιν; Πει. ἀπέπτατο.
ευ. Οὐκ ἄρ' ἀφῆκας ὦ 'γαθ' ὡς ἀνδρεῖος εἶ.

*Ev. Timens ego Lybica auis.*
*SER. Nihil dicis. Ev. Et certè interroga hæc adpedes.*
*SER. Hæc autem iam quæ est auis, non dices?*
B *Pi. Oscitans ego phasianica.*
*Ev. Sed tu quæ fera vnquam es per deos?*
*SER. Auis ego seruus. Ev. victus es quo Gallo? SER. non, sed quando dominus,*
*Epops factus est, tunc fieri me precatus est,*
*Auem, vt comitem ministrum haberet.*
*Ev. Indiget enim auis & seruo aliquo?*
*SER. Hic enim puto prius homo quondam existens,*
C *Tunc quidem amat comedere pisciculos phalericos,*
*Curro in pisciculos ego capiens catinum.*
*Pulmentarium cupit, opus est cochleari & olla.*
*Curro in cochleare. Ev. Trochilus auis hic.*
*Scis igitur quod faciens ô Trochile? dominum*
*Nobis voca. TRO. sed nuper per Iouem*
D *Dormit, deuorans myrta & serphos aliquos.*
*Ev. Tamen suscita. TRO. scimus manifestè*
*Quòd ægre feret, vestri autem ipsum gratia excitabo.*
*Pi. Malè tu pereas, quod me perdidisti timore.*
*Ev. Heu mihi infelix & graculus mihi it*
*Præ timore. Pi. ô timidissima tu fera,*
*Timens dimisisti graculum? Ev. dic mihi,*
E *Tu autem cornicem non dimisisti decidens?*
*Pi. Per Iouem non ego. Ev. vbi enim est? Pi. auolauit.*
*Ev. Non igitur dimisisti ô bone, valde virilis es.*

Σχόλια. Ὑποδεδιώς.] ὄνομα ἔπλασεν ὀρνέου Ὑποδεδιώς. Λιβυκὸν δὲ, ἐπεὶ οἱ Λίβυες βάρβαροι καὶ δειλοί. ἢ ἐπεὶ πολύορνις ἡ Λιβύη. Τὰ πρὸς ποδῶν.] ὑπὸ τοῦ φόβου ἀδιανόητα ἐφθέγξατο. ἢ φησιν ἐρώτα τὰ πρὸς ποδῶν τοῦ ὄρνεα εἰ βούλει περὶ ἐμοῦ. ἢ ἀπὸ τῶν ποδῶν ἡμῶν, ὅτι ὄρνεα ἐσμὲν, μάνθανε. ἄλλως. γράφεται ἐρώτα τὰ πρὸς ποδῶν, ὅτι σαφέστερον. καὶ τάχα ἂν εἴη κατὰ τὴν παλαιὰν σημασίαν τὸ ἔρεο ἔρου, μετεβλήθη δὲ εἰς τὸ ω. ἐν τισὶ δὲ γράφεται. καὶ μὴν ἐρώτα πρὸς τίνων. ἔστι δὲ καὶ τὸ ὅλον λόγον οὐκ ἔχον καὶ ἔτι τὸ καὶ μὴν ἀκαίρως ἔσται λεγόμενον. κάλλιον οὖν τὰ πρὸς ποδῶν. πυνθάνου τῶν ποδῶν ὅτι ὄρνεα ἐσμέν. λέγει δὲ ὡς ὑπὸ τοῦ δέους ἐναφεικώς. Ἐπικεχοδώς.] καὶ τοῦτο ὡς ὄρνιθος ἔπαιξε παρὰ τὸ φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. φασιανὸς δὲ συκοφάντης, παρὰ τὸ φαίνειν μετὰ φασιανῶν εὑρισκόμενος. Τί θηρίον ποτ' εἶ.] δέον εἰπεῖν ὄρνεον πρὸς τὸ τερατικὸν τοῦ σώματος θηρίον εἶπεν. Ὄρνις ἔγωγε δοῦλος.] σημειωτέον ὅτι καὶ τὴν εὐθεῖαν τοῦ ὄρνις ἐκτείνουσιν Ἀττικοί. Ἀλεκτρυόνος.] φυσικὸν τοῦτο ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων, τοὺς ἡττηθέντας ἕπεσθαι τοῖς νενικηκόσι. καὶ Θεόκριτος ὀρνίθων φοινικολόφων τοιοῖδε κυδιμοί. Φαληρικὰς ἀφύας.] ὅτι πληθυντικῶς λέγουσι τὰς ἀφύας. Ἀρίσταρχος δὲ οὐκ ἀποδέχεται πληθυντικῶς διὸ τὸ χ. Φαληρεὺς δὲ, λιμὴν τῆς Ἀττικῆς. Ἔτνους δ' ἐπιθυμεῖ.] ἀθάρας. τορύνη δὲ λέγεται, τὸ κινητήριον τῆς χύτρας. σημειωτέον δὲ, ὅτι τορύνη πανταχοῦ ἐκτείνεται εἰ μὴ παρ' Εὐπόλιδι ὡς εἴρηται. Τροχίλος ὄρνις οὑτοσί.] ἐπεὶ συνεχῶς προσεῖπε τὸ τρέχω παρὰ τὸ τρέχω Τροχίλος εἰπών. ἔστι δὲ καὶ ὄρνεον τροχίλος. καὶ λέγεται εἶναι δειμύ. ἀξιοῦσι δέ τινες, τὴν μέσην ὀξύνειν. Μύρτα καὶ σέρφους.] σέρφος σκωληκῶδες ζωΰφιον. ἢ μυρμηκῶδες. ταῦτα δὲ νέμονται τὰ ὄρνεα. καὶ ἡ παροιμία, ἔνεστι μύρμηκι κἀν σέρφῳ χολή. Νικοφῶν ἐν Ἀφροδίτης γοναῖς. ἅπερ ἐσθίει ταυτὶ τὰ πονηρὰ ὀρνίθια. σέρφους ἴσως σκώληκας. ἀκείδας. πάρνοπας. μύρτα δὲ, ὁ τῆς μυρτίνης καλεῖται καρπός. ὅς ἐστιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν. Κακῶς σύ γ' ἀπόλοιο.] πρὸς τὸν θεράποντα Ἔποπος λέγει εἰσελθόντα καὶ κεχηνότα. Ὑπὸ τοῦ δέους.] ἰδὼν γὰρ τὸν δοῦλον κεχηνότα ἐφοβήθη. Ἀπέπτατο.] εἰς τὸ αὐτὸ κατήντησε τοῦ γελοίου χάριν. Ὡς ἀνδρεῖος εἶ.] ὡς πολύ. ἐν εἰρωνείᾳ δέ.